## τὸ ἀνάγνωσμα περὶ τῆς διαθήκης τοῦ κυρίου

εἶπεν δὲ ὁ θεὸς τῷ Ἀβραάμ (οὐκ ἐκαλεῖτο τὸ ὄνομα αὐτοῦ Ἅβραμ)· "Σάρα ἡ γυνή σου, οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάρρα ἔσται τὸ ὄνομα αὐτῆς. εὐλογήσω δὲ αὐτὴν καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον· καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἔσονται." καὶ ἔπεσεν Ἀβραάμ ἐπὶ πρόσωπον καὶ ἐγέλασεν καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων· "εἰ τῷ ἑκατονταέτει γενήσεται καὶ εἰ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται;" εἶπεν δὲ Ἀβραάμ πρὸς τὸν θεόν· "Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου." εἶπεν δὲ ὁ θεὸς τῷ Ἀβραάμ· "ναί, ἰδοὺ, Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· ἰδοὺ εὐλόγησα αὐτὸν καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάρρα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ." συνετέλεσεν δὲ λαλῶν πρὸς αὐτὸν καὶ ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ.

---

## βοηθήματα

κληθήσεται: τοῦτο τὸ ῥῆμά ἐστι τοῦ τρίτου προσώπου καὶ τοῦ ἑνικοῦ ἀριθμοῦ ἐν τῷ μέλλοντι χρόνῳ καὶ τῇ παθητικῇ φωνῇ ("passive voice") καὶ τῇ ὁριστηκῇ ἐνκλίσει ("indicative mood") ἀπὸ *καλέω* (*καλέσω ἐκάλεσα*).

εἰ τῷ ἑκατονταέτει γενήσεται: ὁ Ἀβραάμ ἐστι ἑκατὸν ἔτη γεγονῶς, καὶ ἡ Σάρρα ἐνενήκοντα ἔτη γεγονυῖα.

ζήτω: τοῦτο τὸ ῥῆμά ἐστι τοῦ τρίτου προσώπου καὶ τοῦ ἑνικοῦ ἀριθμοῦ ἐν τῷ ἐνεστῶτι χρόνῳ καὶ τῇ ἐνεργητικῇ φωνῇ ("active voice") καὶ τῇ προστακτικῇ ἐνκλίσει ("imperative mood") ἀπὸ *ζῶ* (*ζώσω*).

στήσω: τοῦτο τὸ ῥῆμά ἐστι τοῦ πρώτου προσώπου καὶ τοῦ ἑνικοῦ ἀριθμοῦ ἐν τῷ μέλλοντι χρόνῳ καὶ τῇ ἐνεργητικῇ φωνῇ ("active voice") καὶ τῇ ὁριστηκῇ ἐνκλίσει ("indicative mood") ἀπὸ *ἵστημι* (*στήσω ἔστησα*). ἴδετε τοῦτον τὸν λόγον ἐν τῷ ἀναγώσματι περὶ ἄλλων μέρων τοῦ σώματος· ἵσταται δ' ἡ κεφαλὴ ἐπὶ τοῦ τραχήλου

---

## λεξικὸς κατάλογος

※ Green background color indicates core vocabulary.

| τὰ ὀνόματα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| ὁ βασιλεύς, τοῦ βασιλέως | king | LSJ | 275 | Her. Xen. |
| ἡ διάνοια, τῆς διανοίας | thought, thinking, meaning | LSJ | 216 | Her. Xen. |
| ἡ διαθήκη, τῆς διαθήκης | disposition of property; compact, covenant | LSJ | 216 | |
| ὁ καιρός, τοῦ καιροῦ | the exact or right time, opportunity | LSJ | 231 | Her. Xen. |
| ὁ ἐνιαυτός, τοῦ ἐνιαυτοῦ | a span of time, a year | LSJ | 231 | Her. Xen. |

| τὰ ἐπίθετα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| αἰώνιος, -α, -ον | lasting for an age, eternal | LSJ | 287 | |

| τὰ ῥήματα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| πίπτω, πεσοῦμαι, ἔπεσον | I fall | LSJ | 383 | Her.<br>Xen. |
| γελάω, γελάσομαι, ἐγέλασα | I laugh | LSJ | 383 | Her.<br>Xen. |
| γεννάω, γεννήσω, ἐγέννησα | I beget, father; produce | LSJ | 383 | |
| λαλέω, λαλήσω, ἐλάλησα | I chat, talk | LSJ | 383 | Xen. |